σῃς αὐτοῖς καὶ λατρεύσῃς αὐτοῖς, ἃ ἀπένειμεν κύριος ὁ θεός σου
αὐτὰ πᾶσιν τοῖς ἔθνεσιν τοῖς ὑποκάτω τοῦ οὐρανοῦ. [20]ὑμᾶς δὲ 20
ἔλαβεν ὁ θεὸς καὶ ἐξήγαγεν ὑμᾶς ἐκ τῆς καμίνου τῆς σιδηρᾶς ἐξ
Αἰγύπτου εἶναι αὐτῷ λαὸν ἔγκληρον ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ. [21]καὶ 21
κύριος ἐθυμώθη μοι περὶ τῶν λεγομένων ὑφ᾿ ὑμῶν καὶ ὤμοσεν
ἵνα μὴ διαβῶ τὸν Ιορδάνην τοῦτον καὶ ἵνα μὴ εἰσέλθω εἰς τὴν
γῆν, ἣν κύριος ὁ θεὸς δίδωσίν σοι ἐν κλήρῳ· [22]ἐγὼ γὰρ ἀποθνῄ- 22
σκω ἐν τῇ γῇ ταύτῃ καὶ οὐ διαβαίνω τὸν Ιορδάνην τοῦτον, ὑμεῖς
δὲ διαβαίνετε καὶ κληρονομήσετε τὴν γῆν τὴν ἀγαθὴν ταύτην.
[23]προσέχετε ὑμεῖς, μὴ ἐπιλάθησθε τὴν διαθήκην κυρίου τοῦ θεοῦ 23
ὑμῶν, ἣν διέθετο πρὸς ὑμᾶς, καὶ ποιήσητε ὑμῖν ἑαυτοῖς γλυπτὸν
ὁμοίωμα πάντων, ὧν συνέταξεν κύριος ὁ θεός σου· [24]ὅτι κύριος 24
ὁ θεός σου πῦρ καταναλίσκον ἐστίν, θεὸς ζηλωτής.
[25]Ἐὰν δὲ γεννήσῃς υἱοὺς καὶ υἱοὺς τῶν υἱῶν σου καὶ χρονί- 25
σητε ἐπὶ τῆς γῆς καὶ ἀνομήσητε καὶ ποιήσητε γλυπτὸν ὁμοίωμα
παντὸς καὶ ποιήσητε τὰ πονηρὰ ἐναντίον κυρίου τοῦ θεοῦ ὑμῶν
παροργίσαι αὐτόν, [26]διαμαρτύρομαι ὑμῖν σήμερον τόν τε οὐρανὸν 26
καὶ τὴν γῆν ὅτι ἀπωλείᾳ ἀπολεῖσθε ἀπὸ τῆς γῆς, εἰς ἣν ὑμεῖς δια-
βαίνετε τὸν Ιορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν· οὐχὶ πολυχρονιεῖτε
ἡμέρας ἐπ᾿ αὐτῆς, ἀλλ᾿ ἢ ἐκτριβῇ ἐκτριβήσεσθε. [27]καὶ διασπερεῖ 27
κύριος ὑμᾶς ἐν πᾶσιν τοῖς ἔθνεσιν καὶ καταλειφθήσεσθε ὀλίγοι
ἀριθμῷ ἐν τοῖς ἔθνεσιν, εἰς οὓς εἰσάξει κύριος ὑμᾶς ἐκεῖ. [28]καὶ 28
λατρεύσετε ἐκεῖ θεοῖς ἑτέροις, ἔργοις χειρῶν ἀνθρώπων, ξύλοις καὶ
λίθοις, οἳ οὐκ ὄψονται οὐδὲ μὴ ἀκούσωσιν οὔτε μὴ φάγωσιν οὔτε
μὴ ὀσφρανθῶσιν. [29]καὶ ζητήσετε ἐκεῖ κύριον τὸν θεὸν ὑμῶν καὶ 29
εὑρήσετε, ὅταν ἐκζητήσητε αὐτὸν ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ
ὅλης τῆς ψυχῆς σου ἐν τῇ θλίψει σου· [30]καὶ εὑρήσουσίν σε πάν- 30
τες οἱ λόγοι οὗτοι ἐπ᾿ ἐσχάτῳ τῶν ἡμερῶν, καὶ ἐπιστραφήσῃ πρὸς
κύριον τὸν θεόν σου καὶ εἰσακούσῃ τῆς φωνῆς αὐτοῦ· [31]ὅτι θεὸς 31
οἰκτίρμων κύριος ὁ θεός σου, οὐκ ἐγκαταλείψει σε οὐδὲ μὴ ἐκ-
τρίψει σε, οὐκ ἐπιλήσεται τὴν διαθήκην τῶν πατέρων σου, ἣν
ὤμοσεν αὐτοῖς. [32]ἐπερωτήσατε ἡμέρας προτέρας τὰς γενομένας 32
προτέρας σου ἀπὸ τῆς ἡμέρας, ἧς ἔκτισεν ὁ θεὸς ἄνθρωπον ἐπὶ
τῆς γῆς, καὶ ἐπὶ τὸ ἄκρον τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ,

19 αυτα > B$^c$ || 20 ο θεος] pr. κυριος A, κυριος ÷ ο θεος *O* | υμας $2^0$] ημ. B†, + εκ γης αιγυπτου B† | εγκληρον] ευκλ. B*† || 21 κυριος $1^0$] + ο θεος B$^c$ | υμων] ημ. A | θεος] + σου B (in *O* sub ※) || 22 τουτον] > B*, in *O* sub ÷ || 23 υμεις] υμιν B*† | και] + ανομησητε και B$^c$ | συνεταξεν] + σοι AB$^c$ || 25 το πονηρον AB$^c$(om. το) | εναντι A || 26 αυτην > B† || 27 ολιγω A | τοις ult.] pr. πασι(ν) AB$^c$ || 29 ζητησετε] pr. εκ A | υμων W] ημ. BA | ευρησετε] + αυτον A | σου $1^0$] υμων A$^r$ || 30 εσχατω B†] -του A | προς] επι A || 31 fin.] + κυριος B$^c$ || 32 ανθρωπον] pr. τον A | ακρου] pr. του B$^c$

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/345 UNIVERSITÄT LEIPZIG